*ὦ φίλτατ᾽ ἀνδρῶν — καὶ γὰρ οὐκέτ᾽ ὢν ὅμως*
*τῶν φιλτάτων ἔμοιγ᾽ ἀριθμήσῃ, τέκνον —*
*οὐκέτι γενείου τοῦδε θιγγάνων χερί,*
*τὸν μητρὸς αὐδῶν πατέρα προσπτύξῃ, τέκνον,*
*λέγων· Τίς [σ᾽] ἀδικεῖ, τίς σ᾽ ἀτιμάζει, γέρον;*
*τίς σὴν ταράσσει καρδίαν λυπηρὸς ὤν;*
*λέγ᾽, ὡς κολάζω τὸν ἀδικοῦντά σ᾽, ὦ πάτερ.*
*νῦν δ᾽ ἄθλιος μέν εἰμ᾽ ἐγώ, τλήμων δὲ σύ,*
*οἰκτρὰ δὲ μήτηρ, τλήμονες δὲ σύγγονοι.*
*εἰ δ᾽ ἔστιν ὅστις δαιμόνων ὑπερφρονεῖ,*
*ἐς τοῦδ᾽ ἀθρήσας θάνατον ἡγείσθω θεούς.*

*ΧΟ.* *τὸ μὲν σὸν ἀλγῶ, Κάδμε· σὸς δ᾽ ἔχει δίκην*
*παῖς παιδὸς ἀξίαν μέν, ἀλγεινὴν δὲ σοί.*

*ΑΓ.* *ὦ πάτερ, ὁρᾷς γὰρ τἄμ᾽ ὅσῳ μετεστράφη*
. . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . .

*ΔΙΟΝΥΣΟΣ*

. . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . .
*δράκων γενήσῃ μεταβαλών, δάμαρ τε σὴ*
*ἐκθηριωθεῖσ᾽ ὄφεος ἀλλάξει τύπον,*
*ἣν Ἄρεος ἔσχες Ἁρμονίαν θνητὸς γεγώς.*
*ὄχον δὲ μόσχων, χρησμὸς ὡς λέγει Διός,*
*ἐλᾷς μετ᾽ ἀλόχου, βαρβάρων ἡγούμενος.*
*πολλὰς δὲ πέρσεις ἀναρίθμῳ στρατεύματι*
*πόλεις· ὅταν δὲ Λοξίου χρηστήριον*
*διαρπάσωσι, νόστον ἄθλιον πάλιν*
*σχήσουσι· σὲ δ᾽ Ἄρης Ἁρμονίαν τε ῥύσεται*
*μακάρων τ᾽ ἐς αἶαν σὸν καθιδρύσει βίον.*
*ταῦτ᾽ οὐχὶ θνητοῦ πατρὸς ἐκγεγὼς λέγω*
*Διόνυσος, ἀλλὰ Ζηνός· εἰ δὲ σωφρονεῖν*
*ἔγνωθ᾽, ὅτ᾽ οὐκ ἠθέλετε, τὸν Διὸς γόνον*
*ηὐδαιμονεῖτ᾽ ἂν σύμμαχον κεκτημένοι.*